# 14 APRILIE

# PARACLISUL SF.MUCENITE TOMAIDA DE LA ALEXANDRIA

PARACLISIER-GR


Ἡ
ἁγί
α
Θω
μα
ΐς

# ΑΠΡΙΛΙΟΣ ΙΔ
# ΘΩΜΑΪΣ ΜΑΡΤΥΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

*(Γερασίμου μοναχοῦ Μικραγιαννανίτου)*

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:
*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*
Ὁ χορός: *Ἀμήν.*
Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:
*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καὶ εὐθὺς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*
Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*
*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν…*
Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*
*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

Στίχ. γ'. *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*
*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*
Τῆς σωφροσύνης τῷ φωτὶ λαμπομένη, πάσης φθορᾶς καὶ σκοτασμοῦ ἁμαρτίας, ταῖς φωτοφόροις λύτρωσαι πρεσβείαις σου, Θωμαῒς πανθαύμαστε, τοὺς πρὸς σὲ ἀφορῶντας, καὶ ἐξαιτουμένους σου, τὴν θερμὴν προστασίαν, καὶ ῥυπαρῶν παθῶν καὶ λογισμῶν, τὰς διανοίας ἡμῶν ἀποκάθαρον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Σὴν ἀρωγήν μοι Θωμαῒς δίδου. Γερασίμου.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Συνοῦσα τοῖς ἄνω θείοις χοροῖς, σὺν αὐτοῖς δυσώπει, λυτρωθῆναι πάσης φθορᾶς, Θωμαῒς καὶ πάσης ἐπηρείας, τοὺς ἀδιστάκτῳ ψυχῇ προσιόντας σοι.

Ἠσχύνθη ὁ δράκων τῇ σῇ σφαγῇ· οὗ τῆς βδελυρίας, ἀπολύτρωσαι Θωμαΐς, τοὺς πίστει καὶ πόθῳ προσιόντας, τῇ πρὸς Θεὸν ἱκεσίᾳ σου πάνσεμνε.
Νοός μου τὴν δύναμιν Θωμαΐς, καθαρὰν συντήρει, ἀκαθάρτων ἐξ ἐννοιῶν, καὶ φόβῳ με τείχισον τῷ θείῳ, ὡς ἂν ἐχθροῦ τὴν μανίαν ἐκκρούσωμαι.

*Θεοτοκίον.*

Ἁγία Παρθένε Μῆτερ Θεοῦ, κεχαριτωμένη, παντευλόγητε Μαριάμ, ψυχῆς μου ἀπέλασον τὸν ζόφον, τῇ φωταυγῇ Σου πρεσβείᾳ καὶ σῶσόν με.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ῥυπαρῶν νοημάτων καὶ λογισμῶν πάνσεμνε, τῶν κατασπιλούντων ψυχῆς μου πᾶσαν τὴν αἴσθησιν, θᾶττόν με λύτρωσαι, ὡς ἐκ Θεοῦ εἰληφεῖα, Θωμαΐς πανεύφημε, χάριν σωτήριον.
Ὡς τὸ θράσος ἀπώσω τοῦ ῥυπαροῦ γέροντος, οὕτως καθ’ ἡμῶν τὴν μανίαν καὶ τὰ βουλεύματα, Μάρτυς κατάβαλε, τοῦ μαινομένου βελίαρ, Θωμαΐς δεόμεθα, ταῖς ἱκεσίαις σου.
Γνώμην ἔμφρονα δίδου καὶ καθαρὰν ἔννοιαν, τοῖς εἰλικρινῶς προσιοῦσι τῇ προστασίᾳ σου, καὶ πάντα πόλεμον, καὶ μολυσμὸν δυσωποῦμεν, καθ’ ἡμῶν ἀπότρεπε, Μάρτυς τοῦ ὄφεως.

*Θεοτοκίον.*

Ἡ ἀφράστως τεκοῦσα τὸν τοῦ παντὸς Κύριον, καὶ μετὰ τὸν ἄῤῥητον τόκον, παρθένος μείνασα, Κόρη

πανάμωμε, ἁμαρτιῶν μου τὰ βάρη, τάχος ἐπικούφισον, καθικετεύων σε.

Διάσωσον, ἐκ λογισμῶν ἀκαθάρτων τῇ σῇ πρεσβείᾳ, τοὺς ἐν πίστει τῇ προστασίᾳ σου σπεύδοντας, ὦ Θωμαῒς μακαρία Μάρτυς Κυρίου.
Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ἐκ πάσης ὁρμῆς καὶ προσβολῆς τοῦ ὄφεως, σεμνὴ Θωμαῒς, ἀτρώτους διαφύλαττε, τοὺς πίστει εὐφημοῦντάς σε, ὡς σεπτὸν σωφροσύνης κειμήλιον, καὶ μετανοίας πρὸς τρίβους ἡμᾶς, ὁδήγει πρεσβείαις σου πρὸς Κύριον.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Νεκρωθεῖσα τῷ σώματι, πρὸς ζωὴν ἀγήρω Θωμαῒς ἔδραμες· ὅθεν ζώωσόν με δέομαι, τὸν νενεκρωμένον πολλοῖς πάθεσι.
Μαρτυρίου διάδημα, Θωμαῒς ἐδέξω χειρὶ τοῦ Κτίστου σου· Ὃν ἱκέτευε δεόμεθα, ὑπὲρ τῶν πιστῶς ὁμολογούντων σε.
Ὀδυνῶν με ἀπάλλαξον, τῶν κατὰ ψυχὴν καὶ σῶμα σῇ χάριτι, καὶ παθῶν τῶν πολεμούντων με, Θωμαῒς ταχέως ἐλευθέρωσον.

*Θεοτοκίον.*

Ἰησοῦν τὸν παντάνακτα, τὸν δημιουργὸν ἁπάσης τῆς κτίσεως, ὡς Υἱόν Σου καθικέτευε, σῶσαι Θεοτόκε τοὺς ὑμνοῦντάς Σε.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Θραῦσον τὰς δεινάς, καθ' ἡμῶν τοῦ πολεμήτορος, ἐπινοίας Θωμαΐς καὶ προσβολάς, ἐν εἰρήνῃ συντηροῦσα τὰς ψυχὰς ἡμῶν.

Ὤφθης Θωμαΐς, σωφροσύνης θῦμα ἅγιον, ἐν ᾗ φύλαττε ἀτρώτους καὶ ἡμᾶς, ἐν σεμνότητι τὸν νοῦν ἡμῶν τειχίζουσα.

Μάρτυς ἀληθής, τοῦ Χριστοῦ ὤφθης ὡς ἤνεγκας, Θωμαΐς ὑπὲρ τῆς θείας ἐντολῆς, τὴν σφαγήν· διὸ καὶ δόξης θείας ἔτυχες.

*Θεοτοκίον.*

Ἄχραντε ἁγνή, Θεοτόκε ἀειπάρθενε, τὴν χρανθεῖσάν μου ψυχὴν ταῖς ἡδοναῖς, ἀποκάθαρον τοῖς ῥείθροις τοῦ ἐλέους Σου.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Ἰσχύϊ, τῇ θεϊκῇ ὑπερβᾶσα, τὴν φθορὰν τῆς ῥυπαρᾶς ἁμαρτίας, χάριν πολλήν, Θωμαΐς ἐκομίσω, τοῦ κατευνάζειν παθῶν ἐπανάστασιν· ὅθεν πολέμου χαλεποῦ, τῆς σαρκὸς ἡμᾶς πάντας ἀπάλλαξον.

Σαρκός μου, νέκρωσον κίνημα ἅπαν, καὶ νοὸς τὰς ῥυπαρὰς ἐνθυμήσεις, παῦσον καὶ πόρρω ἀπέλασον Μάρτυς, καὶ καθαρὰς τὰς αἰσθήσεις μου φύλαξον, ὡς

ἔχουσα παρὰ Χριστοῦ, Θωμαΐς ὄντως χάριν ἐξαίρετον.
Δυνάμει, τῇ θεϊκῇ μακαρία, καθελοῦσα τὸν ἀκάθαρτον ὄφιν, δύναμιν δίδου ἡμῖν δυσωποῦμεν, τοῦ ἀποβάλλειν αὐτοῦ τὰ νοήματα, καὶ πολιτείαν καθαράν, Θωμαΐς διανύειν θεόληπτε.

*Θεοτοκίον.*

Ἰσχύν μοι, κατὰ παθῶν ἀκαθάρτων, καὶ παντοίων προσβολῶν τοῦ βελίαρ, δίδου ἀεί, Θεοτόκε Παρθένε, καὶ μετανοίας πρὸς τρίβον ὁδήγει με, ἵνα τῇ Σῇ ἐπισκοπῇ, πρὸς ζωὴν κατάντησω αἰώνιον.

Διάσωσον, ἐκ λογισμῶν ἀκαθάρτων τῇ σῇ πρεσβείᾳ, τοὺς ἐν πίστει τῇ προστασίᾳ σου σπεύδοντας, ὦ Θωμαΐς μακαρία Μάρτυς Κυρίου.
Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.*

Τῆς σωφροσύνης τὸν πλοῦτον φυλάττουσα, ὑπὲρ αὐτῆς τὸ σὸν αἷμα ἐξέχεας· καὶ νῦν Θωμαΐς ἀξιάγαστε, ἐν εὐσεβείᾳ καὶ πάσῃ σεμνότητι, τοὺς πόθῳ τιμῶντάς σε φύλαττε.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

## ΕΥΑΓΓΕΛΙΟΝ. Ἐκ τοῦ κατὰ Ματθαῖον (κεφ. κε΄. 1- 13)

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ΄ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδού, ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν. Πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ΄ αὐτοῦ εἰς τοὺς γάμους καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ

οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι ούκ οἴδατε τὴν ἡμέραν, ούδὲ τὴν ὥραν, έν ᾗ ὁ Υἱὸς τοῦ άνθρώπου ἔρχεται.

Δόξα: *Ταῖς τῆς Σῆς Ἁγίας...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην άποθέμενοι. Στ.: *Έλεῆμον, έλέησόν με ό Θεός...*
Θωμαΐς πανθαύμαστε, τῆς σωφροσύνης λυχνία, πᾶσι διαυγάζουσα, τοῦ Ἁγίου Πνεύματος χάριν ἄφθονον, σκοτασμοῦ λύτρωσαι, παθῶν άκαθάρτων, τοὺς πιστῶς σὲ μακαρίζοντας, καὶ άποδίωξον, άφ’ ἡμῶν έχθρὸν τὸν πολέμιον, καὶ τῆς σαρκὸς τὴν πύρωσιν, δρόσῳ τῆς θερμῆς προστασίας σου, σβέσον καὶ παράσχου, ἡμῖν άναψυχὴν τὴν άληθῆ, καὶ τῶν πταισμάτων έξαίτησαι, πᾶσι τὴν συγχώρησιν.

*ᾨδὴ ζ΄. Οἱ έκ τῆς Ἰουδαίας.*

Δόξης θείας τυχοῦσα ὡς τὸν θάνατον εἵλου ὑπὲρ τοῦ νόμου Χριστοῦ, έκ πάσης άδοξίας, παθῶν τῶν άκαθάρτων, Θωμαΐς έλευθέρωσον, τοὺς έκζητοῦντας πιστῶς, τὴν σὴν έπιστασίαν.
Οἱ κρουνοὶ σῶν αἱμάτων Θωμαΐς ἡμῖν δρόσον θείαν βλυστάνουσι, σβεννύουσαν τὴν φλόγα, παθῶν τῶν άκαθάρτων, τῶν βοώντων ἑκάστοτε· ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εύλογητὸς εἶ.
Ὑπὲρ τῆς σωφροσύνης τὴν ζωήν σου προθύμως Θωμαΐς τέθεικας· έν ταύτῃ οὖν Ἁγία, συντήρησον

ἀτρώτους, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Γενοῦ σκέπη καὶ τεῖχος καὶ προσφύγιον θεῖον Παρθένε ἄχραντε, ἐν πάσῃ περιστάσει, ἡμῖν τοῖς Σοῖς ἱκέταις, τοῖς ἐν πίστει βοῶσί σοι· χαῖρε πηγὴ δαψιλής, πλουσίας εὐσπλαγχνίας.

## *Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Ἔχουσα Μάρτυς, πρὸς τὸν Χριστὸν παῤῥησίαν, καθικέτευε ὑπὲρ τῶν ἐκζητούντων, Θωμαΐς Ἁγία, τὴν σὴν θερμὴν πρεσβείαν.

Ῥῦσαι τὸν νοῦν μου, ἐξ ἐννοιῶν ἀκαθάρτων, καὶ καθήλωσον τῷ φόβῳ τοῦ Κυρίου, Θωμαΐς Ἁγία, τῇ σῇ θερμῇ πρεσβείᾳ.

Ἀδιαλείπτως, ἐκ λογισμῶν ἀκαθάρτων, ῥύου πάνσεμνε τοὺς σὲ παρακαλοῦντας, πᾶσιν αἰτουμένη, μετάνοιαν γνησίαν.

*Θεοτοκίον.*

Σάρκα φορέσας, ἐκ τῶν ἁγνῶν Σου αἱμάτων, ὁ ὑπέρθεος δι’ ἄκραν εὐσπλαγχνίαν, σῴζει Παναγία, τοὺς Σὲ δοξολογοῦντας.

## *Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἰλύος ἐμπαθείας, καὶ λύμης ἁπάσης, τῆς ἁμαρτίας τὸν νοῦν μου ἐκκάθαρον, ὦ Θωμαΐς ἐν τοῖς ῥείθροις τῆς προστασίας σου.

Μαρτύρων ταῖς χορείαις, νῦν συνηδομένη, ὑπὲρ ἡμῶν σὺν αὐτοῖς ἀεὶ πρέσβευε, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε ἀξιάγαστε.
Ὁλόφωτον παστάδα, ἤδη κατοικοῦσα, ἐκ σκοτασμοῦ Θωμαΐς ἀπολύτρωσαι, τῆς πολυτρόπου κακίας ἡμᾶς δεόμεθα.

*Θεοτοκίον.*

Ὑψίστου χαῖρε Μῆτερ, ἄχραντε Παρθένε· χαῖρε τοῦ κόσμου παντὸς καταφύγιον, καὶ σωτηρία ψυχῆς μου καὶ ἀγαλλίαμα.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Ὤφθης σωφροσύνης λαμπρὰ εἰκών, Θωμαΐς θεόφρον, καὶ ἐδέξω ὑπὲρ αὐτῆς, θάνατον ἀνδρείως, καὶ ἀθάνατου δόξης, σὺν Μάρτυσιν Ἁγίοις, χαίρουσα ἔτυχες.
Ἤνεγκας τὸν θάνατον καρτερῶς, Θωμαΐς θεόφρον, διὰ νόμον τὸ τοῦ Χριστοῦ· ὅθεν ἀθανάτου, ζωῆς ἀξιωθεῖσα, θανάτου ἁμαρτίας, ἡμᾶς ἀπάλλαξον.

Βίον διανύουσα καθαρόν, γέροντος ἀπώσω, ῥυπαρίαν τὴν μυσαράν, Θωμαΐς θεόφρον· καὶ νῦν ἡμᾶς κουφίζεις, ἐκ σαρκικοῦ πολέμου, τῇ ἀντιλήψει σου.
Σκῆνός σου τὸ θεῖον τοῦ τῆς σαρκός, Θωμαΐς πολέμου, ἐλυτρώσατο τοῦ δεινοῦ, μοναστὴν τῷ θείῳ, τάφῳ σου προσελθόντα· ὅθεν κἀμοὶ Ἁγία, δίδου τὴν χάριν σου.
Δέχου τὰς δεήσεις καὶ τὰς φωνάς, τῶν ἐν εὐλαβείᾳ, προσιόντων σοι Θωμαΐς, καὶ δίδου ἀπαύστως, βοήθειαν ταχεῖαν, ἡμῖν ἐν τῇ πυρώσει, σαρκὸς δεόμεθα.
Σύντριψον τὰ βέλη τὰ καθ' ἡμῶν, ἐχθροῦ τοῦ δολίου, τῇ σῇ χάριτι Θωμαΐς, καὶ ἐν σωφροσύνῃ, δίδου ἰσχὺν ἀνύειν, ἡμῶν ἐκδυσωποῦμεν, τὸν βίον ἅπαντα.
Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός

ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σὲ μὴ ἀστοχήσομεν, ῥυσθείημεν διὰ Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Πάσης, τοῦ ἐχθροῦ ἐπιβουλῆς, φύλαττε ἀτρώτους ἀπαύστως, ἐπιστασίᾳ σου, Θωμαΐς πανθαύμαστε, τοὺς προσιόντας σοι, καὶ βελῶν τοῦ ἀλάστορος, τῶν πεπυρωμένων, σκέπε καὶ διάσωζε ἡμᾶς ἑκάστοτε· σὺ γὰρ θείαν χάριν ἐδέξω, λύειν λογισμῶν ἀκαθάρτων, πᾶσαν ῥυπαρίαν καὶ ἐπήρειαν.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι’ εὐχῶν.*